κλύοντας. τὸ δ' ἀδικεῖν, ἴδιον τῶν πονηρῶν. A
λέγε δὲ ὅτι καὶ ἐπιεικὲς καὶ δίκαιον καὶ
συμφέρον ἐστὶν συγγνώμην ἔχειν ταῖς ἁ-
μαρτίαις. οὐδεὶς γὰρ οἶδεν ἀνθρώπων εἴ τι
τοιοῦτον αὐτῷ συμπεπέσῃ. ἀπόφαινε καὶ
τὸν ἐναντίον, εἴ τι ἐξήμαρτεν, συγγνώμης
τυχεῖν ἀξιώσαντα. μετὰ δὲ ταῦτα αἱ προ-
καταλήψεις αἱ ὑπὸ τῶν ἐναντίων εἰρημέναι.
τὰς μὲν οὖν ἄλλας, ἐξ αὐτῶν τῶν πραγμά- B
των εὐπορήσομεν λύειν. ἐὰν δὲ διαβάλωσιν
ἡμᾶς, ὡς γεγραμμένοις λόγοις λέγομεν, ἢ
λέγειν μελετῶμεν, ἢ ὡς ἐπὶ μισθῷ τινὶ
συνηγοροῦμεν, χρὴ πρὸς τὰ τοιαῦτα ὁμόσε
βαδίζοντας εἰρωνεύεσθαι, καὶ περὶ μὲν τῆς
γραφῆς λέγειν· μὴ κωλύειν τὸν νόμον, ἢ αὐτὸν
γεγραμμένα λέγειν, ἢ ἐκεῖνον ἄγραφα. τὸν
γὰρ νόμον οὐκ ἐᾶν τοιαῦτα πράττειν· λέγειν
δὲ ὅπως ἄν τις βούληται συγχωρεῖν. ῥητέον C
δὲ καὶ ὅτι οὕτως ὁ ἐναντίος οἴεται μεγάλα
ἠδικηκέναι, ὥστ' οὐ νομίζειν με κατ' ἀξίαν
κατηγορῆσαι, εἰ μὴ γράφοιμι, καὶ πολὺν
χρόνον σκεψαίμην. περὶ μὲν οὖν τὰς τῶν γε-
γραμμένων λόγων διαβολὰς οὕτως ἀπαντη-
τέον. ἂν δὲ φάσκωσιν ἡμᾶς λέγειν μανθάνειν
καὶ μελετᾶν, ὁμολογήσαντες, ἐροῦμεν· ἡμεῖς
μὲν οἱ μανθάνοντες, ὡς φῄς, οὐ φιλόδικοι ἐ- D
σμέν. σὺ δὲ ὁ λέγειν μὴ ἐπιστάμενος, καὶ νῦν
ἡμᾶς καὶ πρότερον ἑάλως συκοφαντῶν· ὥστε
λυσιτελὲς φανεῖται τοῖς πολίταις, κἀκεῖνον
μανθάνειν ῥητορεύειν· οὐ γὰρ οὕτω πονηρὸν
οὐδὲ συκοφάντην αὐτὸν εἶναι. τὸν αὐτὸν δὲ
τρόπον, κἂν ἡμᾶς ἐπὶ μισθῷ συνηγορεῖν λέ-
γῃ τις, ὁμολογήσαντες εἰρωνευσόμεθα, καὶ
τὸν αἰτιώμενον ἡμᾶς ἐπιδείξομεν τοῦτο ποι- E
οῦντα, καὶ τοὺς ἄλλους ἅπαντας. τῶν δὲ μισθῶν
διαιρεῖν τὰ εἴδη, καὶ λέγειν, ὡς οἱ μὲν ἐπὶ
χρήμασιν, οἱ δὲ ἐπὶ χάρισιν, οἱ δὲ ἐπὶ τιμω-
ρίαις, οἱ δὲ ἐπὶ τιμαῖς συνηγοροῦσιν. αὐτὸν μὲν
οὖν ἀπόφαινε διὰ χάριν συνηγοροῦντα. τὸν
δ' ἐναντίον λέγε, οὐδὲ ἐπὶ μικρῷ μισθῷ συ-
νηγορεῖν. ὅπως γὰρ λάβῃ ἀργύριον ἀδίκως,
οὐχ ὅπως μὴ ἐκτίσῃ, δικάζεται. τῷ αὐτῷ
δὲ τρόπῳ, καὶ ἐάν τις ἡμᾶς δικάζεσθαί τινας F
λέγῃ διδάσκειν, ἢ λόγους δικανικοὺς συγ-
γράφειν. ἀπόφαινε γὰρ καὶ τοὺς ἄλλους ἅπαντας
καθ' ὅσον δύνανται τοὺς φίλους ὠφελεῖν, καὶ
διδάσκοντας καὶ συμβουλεύοντας· καὶ οὕ-
τως ἐντέχνως περὶ τῶν τοιούτων ἀπαντήσεις.

dentiam delinquere commune sit: sed af-
ficere iniuria, improborũ esse proprium.
Dices etiã & æquum, & bonum esse, & iu-
stum, & conducibile his ignoscere, qui per
imprudentiã deliquerint. Neminem enim
omnium scire, si quid aliquando sibi hu-
iusmodi euenturum sit. Ostendendum est
etiam, si quid aduersarius ipse aberraue-
rit, & veniam tamen consecutus sit. Post
hæc ex præoccupationes sequuntur, quæ
ab aduersariis dictæ sunt. Harũ igitur alias
satis superq. à rebus ipsis soluere poteri-
mus. Sed si calumnietur, scriptas nos ora-
tiones recitare, aut quò eas recitemus me-
ditari, aut mercede conductos patronos
fieri, ad hæc talia cõtraueniamus oportet,
dissimulandóq. dicamus minimè omnium
lege prohiberi, aut se scripta, aut illum nõ
conscripta loqui. Lege nanque talia patra-
re non permitti, loqui verò vt quisque ve
lit, facilè sini. Dicendum quoque erit, vsq.
adeò aduersarij delicta vel ipsius eius sen-
tentia permagna esse, vt existimet me nun
quam dignè in se accusando satisfacere
posse, nisi quæ dicturus essem, & anteà scri
berem, ac multum tẽporis meditatus sim.
Adscriptarum igitur orationum calum-
nias sic occurrere poterimus. Si verò di-
xerint, nos discere, meditaríque dicendi
facultatem, confitebimur id quidem, di-
cemúsque, Nos quidem, quos ais discere,
neque calumniatores, neque contentiosi
certè sumus. Tu verò, qui oratoriam tenes,
cùm hoc tempore, tum sæpe aliàs nos ca-
lumniis circumuenire deprehensus es.
Quare conducere ciuibus videtur, vt & il
le oratoriam discat. Non enim sic malum,
neque insimulatorem eum fore. Eodem
quoque modo si quis nos mercede con-
ductos causarum patronos dicat, & fate-
bimur, & cauillabimur, huiusque rei au-
thorem accusatorem nostrum, ac reliquos
omnes demonstrabimus. Mercedum au-
tem species diuidemus, dicemúsque alios
pecuniis, alios gratis, alios suppliciis, alios
honoribus aduocatos assistere. Te igitur
gratis id obire muneris ostende: aduersa-
rium verò dicito ne paruo quidem pre-
tio aduocatum assistere. Eum nanque vt a-
liquid argenti iniustè capiat, non autem
ne persoluat, in iudicium ire. Idem quo-
que modus seruandus est, si quis nos aut
aliquos edocere dixerit, qui controuersiis
apud iudices vtantur, aut iudiciales ora-
tiones conscribere. Nam & alios omnes
ostẽdes pro viribus adiumẽto amicis esse,
& docendo quidem, & cõsulendo: & arti-
ficiosissimè in huiusmodi rebus occurres.